(2) νέος δὲ ἤρξατο τῶν τραγῳδιῶν, καὶ πολὺ τοὺς πρὸ ἑαυτοῦ ὑπερῆρεν κατά τε τὴν ποίησιν καὶ τὴν διάθεσιν τῆς σκηνῆς, τήν τε λαμπρότητα τῆς χορηγίας καὶ τὴν σκευὴν τῶν ὑποκριτῶν, τήν τε τοῦ χοροῦ σεμνότητα, ὡς καὶ Ἀριστοφάνης (Βατρ. 1004) «ἀλλ' ὦ πρῶτος τῶν Ἑλλήνων πυργώσας ῥήματα σεμνὰ καὶ κοσμήσας τραγικὸν λῆρον».

(3) συνεχρόνησεν δὲ Πινδάρῳ, γεγονὼς κατὰ τὴν μ' ὀλυμπιάδα.

(2) Ὁ Σουίδας (λέξει Πρατίνας) γράφει: «ἀντηγωνίζετο δὲ Αἰσχύλῳ τε καὶ Χοιρίλῳ ἐπὶ τῆς ἑβδομηκοστῆς Ὀλυμπιάδος (= 500 π. Χ.) . . . ἐπιδεικνυμένου δὲ τούτου συνέβη τὰ ἰκρία ἐφ' ὧν ἐστήκεσαν οἱ θεαταὶ πεσεῖν. Καὶ ἐκ τούτου θέατρον ᾠκοδομήθη». Ἐν ἔτει πεντακοσιοστῷ π. Χ. ἦγεν ὁ Αἰσχύλος ἡλικίαν πέντε καὶ εἴκοσιν ἐτῶν (ὅρα σημείωσιν εἰς § 3). Ὅθεν ὀρθῶς μὲν λέγεται ὅτι: «νέος ἤρξατο τῶν τραγῳδιῶν», ἀλλὰ τὴν πρώτην νίκην ἐνίκησε τὸ τέταρτον ἔτος τῆς ἑβδομηκοστῆς τρίτης Ὀλυμπιάδος (= 485 π. Χ.), καθὰ μαρτυρεῖ τὸ Πάριον Μάρμαρον ἐποχ. 50: «ἀφ' οὗ Αἰσχύλος ὁ ποιητὴς τραγῳδίᾳ πρῶτον ἐνίκησε καὶ Εὐριπίδης ὁ ποιητὴς ἐγένετο καὶ Στησίχορος ποιητὴς εἰς τὴν Ἑλλάδα ἀφίκετο ἔτη ΗΗΔΔΠ ἄρχοντος Ἀθήνησιν Φιλοκράτους».

Περὶ δὲ τῆς λαμπρότητος καὶ σεμνότητος τῆς Αἰσχυλείου σκηνῆς λέγει ὁ Ἀθήναιος σελ. 21^D τάδε: «Καὶ Αἰσχύλος δὲ οὐ μόνον ἐξεῦρε τὴν τῆς στολῆς εὐπρέπειαν καὶ σεμνότητα, ἣν ζηλώσαντες οἱ ἱεροφάνται καὶ δᾳδοῦχοι ἀμφιέννυνται, ἀλλὰ καὶ πολλὰ σχήματα ὀρχηστικὰ αὐτὸς ἐξευρίσκων ἀνεδίδου τοῖς χορευταῖς. Χαμαιλέων γοῦν πρῶτον αὐτόν φησι σχηματίσαι τοὺς χοροὺς ὀρχηστοδιδασκάλοις οὐ χρησάμενον, ἀλλὰ καὶ αὐτὸν τοῖς χοροῖς τὰ σχήματα ποιοῦντα τῶν ὀρχήσεων καὶ ὅλως πᾶσαν τὴν τῆς τραγῳδίας οἰκονομίαν εἰς ἑαυτὸν περιιστάντα· ὑπεκρίνετο γοῦν μετὰ τοῦ εἰκότος τὰ δράματα. Ἀριστοφάνης γοῦν — παρὰ δὲ τοῖς κωμικοῖς ἡ περὶ τῶν τραγικῶν ἀπόκειται πίστις — ποιεῖ αὐτὸν Αἰσχύλον λέγοντα:

τοῖσι χοροῖς αὐτὸς τὰ σχήματ' ἐποίουν

καὶ πάλιν

τοὺς Φρύγας οἶδα θεωρῶν,<br>
ὅτε τῷ Πριάμῳ συλλυσόμενοι τὸν παῖδ' ἦλθον τεθνεῶτα,<br>
πολλὰ τοιαυτὶ καὶ τοιαυτὶ καὶ δεῦρο σχηματίσαντας.

(3) Ὁ ἀριθμὸς μ' παρεδόθη ἡμαρτημένως, πρβ. Πάρ. Χρονικ. ἐποχ. 48: «ἐν (τῇ ἐμ Μαραθῶνι) μάχῃ συνηγωνίσατο Αἰσχύλος ὁ ποιητὴς ἐτῶν ὢν λε'» καὶ ἐποχ. 59: «Αἰσχύλος ὁ ποιητὴς βιώσας ἔτη ξθ' ἐτελεύτησεν ἐν Γέλᾳ τῆς Σικελίας . . . . ἄρχοντος Ἀθήνησι Καλλίου τοῦ προτέρου», ἔτι δὲ καὶ Σχολ. Ἀριστοφ. Ἀχαρν. 10. Ἐὰν ὁ Αἰσχύλος κατὰ τὸ ἔτος τῆς ἐν Μαραθῶνι μάχης ἦγεν ἡλικίαν πέντε καὶ τριάκοντα ἐτῶν ἢ ἐὰν τῷ πρώτῳ ἔτει τῆς ὀγδοηκοστῆς πρώτης Ὀλυμπιάδος (456 π. Χ.) ἀπέθανε βιώσας ἔτη ἐννέα καὶ ἑξήκοντα, τότε ἐγεννήθη κατὰ τὸ ἔτος 525^ον π. Χ. ἤτοι τὸ τέταρτον τῆς ἑξηκοστῆς τρίτης Ὀλυμπιάδος, ὥστε γραπτέον ἄνω ἀντὶ μ' μετὰ τοῦ Κασωβῶνος ξγ' ἢ ξδ', ὥσπερ ἤθελεν ὁ Λάγγιος. Τούτοις συνᾴδει καὶ ἡ κατωτέρω μνημονευομένη